[7]Γλῶσσα γὰρ αὐτῶν ἐστιν κατεξυσμένη ὑπὸ τέκτονος, αὐτά τε 7
περίχρυσα καὶ περιάργυρα, ψευδῆ δ' ἐστὶν καὶ οὐ δύνανται λαλεῖν.
[8]καὶ ὥσπερ παρθένῳ φιλοκόσμῳ λαμβάνοντες χρυσίον κατασκευ- 8
άζουσιν στεφάνους ἐπὶ τὰς κεφαλὰς τῶν θεῶν αὐτῶν· [9]ἔστι δὲ 9
καὶ ὅτε ὑφαιρούμενοι οἱ ἱερεῖς ἀπὸ τῶν θεῶν αὐτῶν χρυσίον καὶ
ἀργύριον εἰς ἑαυτοὺς καταναλώσουσιν, δώσουσιν δὲ ἀπ' αὐτῶν
καὶ ταῖς ἐπὶ τοῦ τέγους πόρναις. [10]κοσμοῦσί τε αὐτοὺς ὡς ἀν- 10
θρώπους τοῖς ἐνδύμασιν, θεοὺς ἀργυροῦς καὶ χρυσοῦς καὶ ξυλίνους·
οὗτοι δὲ οὐ διασῴζονται ἀπὸ ἰοῦ καὶ βρωμάτων. [11]περιβεβλημένων 11
αὐτῶν ἱματισμὸν πορφυροῦν, ἐκμάσσονται τὸ πρόσωπον αὐτῶν
διὰ τὸν ἐκ τῆς οἰκίας κονιορτόν, ὅς ἐστιν πλείων ἐπ' αὐτοῖς. [12]καὶ 12
σκῆπτρον ἔχει ὡς ἄνθρωπος κριτὴς χώρας, ὃς τὸν εἰς αὐτὸν ἁμαρ-
τάνοντα οὐκ ἀνελεῖ. [13]ἔχει δὲ ἐγχειρίδιον ἐν δεξιᾷ καὶ πέλεκυν, 13
ἑαυτὸν δὲ ἐκ πολέμου καὶ λῃστῶν οὐκ ἐξελεῖται. [14]ὅθεν γνώριμοί 14
εἰσιν οὐκ ὄντες θεοί· μὴ οὖν φοβηθῆτε αὐτούς.

[15]Ὥσπερ γὰρ σκεῦος ἀνθρώπου συντριβὲν ἀχρεῖον γίνεται, τοι- 15
οῦτοι ὑπάρχουσιν οἱ θεοὶ αὐτῶν, καθιδρυμένων αὐτῶν ἐν τοῖς
οἴκοις. [16]οἱ ὀφθαλμοὶ αὐτῶν πλήρεις εἰσὶν κονιορτοῦ ἀπὸ τῶν 16
ποδῶν τῶν εἰσπορευομένων. [17]καὶ ὥσπερ τινὶ ἠδικηκότι βασιλέα 17
περιπεφραγμέναι εἰσὶν αἱ αὐλαὶ ὡς ἐπὶ θανάτῳ ἀπηγμένῳ, τοὺς
οἴκους αὐτῶν ὀχυροῦσιν οἱ ἱερεῖς θυρώμασίν τε καὶ κλείθροις καὶ
μοχλοῖς, ὅπως ὑπὸ τῶν λῃστῶν μὴ συλησῶσι. [18]λύχνους καίουσιν 18
καὶ πλείους ἢ ἑαυτοῖς, ὧν οὐδένα δύνανται ἰδεῖν. [19]ἔστιν μὲν 19
ὥσπερ δοκὸς τῶν ἐκ τῆς οἰκίας, τὰς δὲ καρδίας αὐτῶν φασιν
ἐκλείχεσθαι, τῶν ἀπὸ τῆς γῆς ἑρπετῶν κατεσθόντων αὐτούς τε
καὶ τὸν ἱματισμὸν αὐτῶν οὐκ αἰσθάνονται. [20]μεμελανωμένοι τὸ 20
πρόσωπον αὐτῶν ἀπὸ τοῦ καπνοῦ τοῦ ἐκ τῆς οἰκίας. [21]ἐπὶ τὸ 21
σῶμα αὐτῶν καὶ ἐπὶ τὴν κεφαλὴν ἐφίπτανται νυκτερίδες, χελιδόνες
καὶ τὰ ὄρνεα, ὡσαύτως δὲ καὶ οἱ αἴλουροι. [22]ὅθεν γνώσεσθε ὅτι 22
οὔκ εἰσιν θεοί· μὴ οὖν φοβεῖσθε αὐτά.

[23]Τὸ γὰρ χρυσίον, ὃ περίκεινται εἰς κάλλος, ἐὰν μή τις ἐκμάξῃ 23
τὸν ἰόν, οὐ μὴ στίλψωσιν· οὐδὲ γάρ, ὅτε ἐχωνεύοντο, ᾐσθάνοντο.
[24]ἐκ πάσης τιμῆς ἠγορασμένα ἐστίν, ἐν οἷς οὐκ ἔστιν πνεῦμα. 24
[25]ἄνευ ποδῶν ἐπ' ὤμοις φέρονται ἐνδεικνύμενοι τὴν ἑαυτῶν ἀτιμίαν 25
τοῖς ἀνθρώποις, αἰσχύνονταί τε καὶ οἱ θεραπεύοντες αὐτὰ διὰ τό,

7 εστιν 1° > A || 9 υφαιρομενοι (sic) A | καταναλουσιν B† | τεγους] στεγ. B || 10 τε] δε A: cf. 25. 55. 61 | αργ. .. χρυσ. (cf. 3. 29)] tr. A | χρυσ.] pr. θεους B(†) || 11 πλειω BA† || 13 εν] > B†, + τη A | πολεμων A†: cf. 49 || 15 αχρειον] αχρηστον A | οικοις] κηποις A† || 17 ως] pr. η A† | ιερεις] + αυτων A† | υπο τ. ληστ. / μη] tr. A† || 18 η εαυτοις] αυτοις A | ουδενα] ου A || 19 μεν] δε A || 20 του ult. — fin.] του εκ της γης καιομενου A† || 21 κεφ.] + αυτων A | νυκτ. χελ.] χελ. και νυκτ. A(†) || 22 φοβηθητε A || 25 φερονται] αιρ. A† | τε] δε A: cf. 10

SLUB Wir führen Wissen. http://digital.slub-dresden.de/id41624694X/771 UNIVERSITÄT LEIPZIG